περὶ τῆς θείας προνοίας ... ἕκτη: 85

Τῶν τὸν θαλάττιον βίον ἀσπαζομένων, οἱ μέν, τὰς
φορτίδας ἐρέττουσιν· οἱ δέ, ταύτας τοῖς οἴαξιν ἰ-
θύνουσι· καὶ μέντοι καὶ πᾶς ἁλιευτὴς ἐπ' ἁλι-
άδος ὀχούμενος, χαλᾷ δίκτυον καὶ θηράει
τοὺς τῶν ὑδάτων τροφίμους· καὶ ἄλλος ἐπὶ πέ-
τρας ἱδρυμένος, καθίησιν ὁρμιάν· καὶ δελεάζων
περὶ πέρας τῶν ἀγκίστρων τῶν ἰχθύων τινάς· εἰσὶ
δὲ οἳ καὶ ναυαγίᾳ χρῶνται, καὶ ὑποβρύχιοι γίγνον-
ται· ἢ ἐξ ἀβουλίας παρὰ καιρὸν ἀχθέντες, ἢ διὰ
θράσος τῆς ζάλης κατατολμήσαντες· ταῦτα
δὲ οὐ τὴν ἄλλως ὕθλων διεξῆλθον· ἀλλὰ τῶν τῇ
κτίσει προσπταιόντων καὶ τῶν ἐν ταύτῃ πρυτανευο-
μένων ἀναιδῶς κατηγορούντων ἐπιδεῖξαι τὴν ἄ-
νοιαν, διά τινος εἰκόνος πειρώμενος· καὶ γὰρ τὴν
κτίσιν οἱ μέν, ὁρῶσι καὶ τὸν ποιητὴν ἀνυμνοῦσιν·
οἱ δέ, πλέον ἢ δεῖ θαυμάζοντες, ἠλιθίως θεοποι-
οῦσι· καὶ οἱ μέν, τῶν γιγνομένων ἕκαστον ὑπερά-
γανται· καὶ τὸν τῶν ὅλων ὁρῶσι κυβερνήτην
ἄριστά γε ἰθύνοντα, καὶ τὴν ἐπὶ τοῖς οἴαξι φαι-
νομένην ἀφυμνοῦσι σοφίαν· οἱ δέ, τοῖς γιγνο-
μένοις ἅπασι νεμεσῶσι· καὶ τῶν δρωμένων αὐ-
τοῖς οὐδὲν τὸ παράπαν ἀρέσκει· ἀλλὰ καὶ
πλοῦτον κατηγοροῦσι· καὶ κωμῳδοῦσι πενίαν·
καὶ μέμφονται νόσῳ· καὶ τοὺς ὑγιαίνοντας δυσ-

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_214/0195